# 02-10-2026 ΠΕΜΠΤΗ ΕΣΠΕΡΑΣ ΗΧΟΣ ΠΛ. Δ΄

† Μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος Κυπριανοῦ, καὶ Ἰουστίνης τῆς Παρθένου.

ΙΕΡΕΥΣ: Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΑΝΑΓΝΩΣΤΗΣ: Ἀμήν.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ, τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν.

## Ψαλμὸς ργ΄ (103)

Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, Κύριε ὁ Θεός μου ἐμεγαλύνθης σφόδρα.

Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.

Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν, ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ.

Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.

Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα.

Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν.

Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτά.

Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν.

Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀναμέσον τῶν ὀρέων διελεύσονται ὕδατα.

Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.

Ἐπ΄ αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν.

Ποτίζων ὄρη ἐκ τῶν ὑπερώων αὐτοῦ ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.

Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων.

Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου.

Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.

Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας.

Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν.

Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγῳοῖς.

Ἐποίησε σελήνην εἰς καιρούς ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.

Ἔθου σκότος, καὶ ἐγένετο νύξ ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ.

Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπᾶσαι, καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς.

Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται.

Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας, ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου.

Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος, ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων.

Ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ.

Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον δόντος σου αὐτοῖς συλλέξουσιν.

Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται.

Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.

Ἐξαποστελεῖς τὸ πνεῦμα σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.

Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.

Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται.

ᾎσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.

Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς, καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Καὶ πάλιν

Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ ἔθου σκότος, καὶ ἐγένετο νύξ.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε πάντα ἐν σοφίᾳ ἐποίησας.

Δόξα... Καὶ νῦν...

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός (ἐκ γ΄).

Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

ΔΙΑΚΟΝΟΣ: Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

ΧΟΡΟΣ: Κύριε, ἐλέησον. [καὶ μετὰ ἀπὸ κάθε αἴτηση]

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καί τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καί τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καί τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ

εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ πατρός καὶ Ἀρχιεπισκόπου ἡμῶν (……), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντός τοῦ Κλήρου καί τοῦ Λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, πάσης Ἀρχῆς καὶ Ἐξουσίας ἐν αὐτῷ, τοῦ κατὰ ξηρὰν θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς πόλεως (Μονής Κώμης) ταύτης, πάσης πόλεως καὶ χώρας καί τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καί τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

ΧΟΡΟΣ: Σοὶ Κύριε.

ΙΕΡΕΥΣ: Ὅτι πρέπει σοι, πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ: Ἀμήν.

# 02-10-2026 ΕΣΠΕΡΙΝΟΣ ΠΕΜΠΤΗΣ ΗΧΟΣ ΠΛ. Δ΄

Εἰς τό, Κύριε ἐκέκραξα,
ψάλλομεν Στιχηρὰ στ΄.
Ψαλμὸς ρμ΄ (140)
Ἦχος πλ. δ΄ Νη




νη ει σα κου σον μου Κυ υ ρι ε
Θου Κυ ρι ε φυ λα κην τω στο μα τι
μου και θυ ραν πε ρι ο χης πε ρι τα χει
λη μου
Μη εκ κλι νης την καρ δι αν μου εις λο
γους πο νη ρι ας του προ φα σι ζεσ θαι προ
φα σεις εν α μαρ τι αις
Συν αν θρω ποις ερ γα ζο με νοις την
α νο μι ι ι αν και ου μη συν δυ α σω
με τα των ε κλε κτων α αυ των
Παι δε ευ σει με δι και ος εν ε λε ει


και ε λεγ ξει με ε λαι ον δε α μαρ τω λου
μη λι πα να τω την κε φα λην μου
Ο τι ε τι και η προ σευ χη μου εν ταις
ευ δο κι αις αυ των κα τε πο θη σαν ε
χο με να πε τρας οι κρι ται αυ των
Α κου σο νται τα ρη μα τα μου ο τι η
δυν θη σαν ω σει πα χος γης ερ ρα γη ε πι
της γης δι ε σκορ πι σθη τα ο στα
αυ των πα ρα τον Α δην
Ο τι προς σε Κυ υ ρι ε Κυ ρι ε οι
ο φθαλ μοι μου ε πι σοι ηλ πι σα μη αν τα


νε λης την ψυ χη μου
Φυ λα ξον με α πο πα γι ι δος ης συ
νε στη σαν το μοι και α πο σκαν δα λων των ερ
γα ζο με νων την α νο μι αν
Πε σουν ται εν αμ φι βλη στρω αυ τω ων
οι α μα ρτω λοι κα τα μο νας ει μι ε γω
ε ως αν πα ρελ θω
Φω νη η μου προς Κυ ρι ον ε κε κρα
ξα φω νη μου προς Κυ ρι ον ε δε η
θην
Εκ χε ω ε νω πι ον αυ του την δε


η σιν μου την θλι ψιν μου ε νω πι ον αυ
του α πα γγε λω
Εν τω εκ λει πει ειν εξ ε μου το πνευ
μα μου και συ ε γνως τας τρι βους μου
Εν ο δω ταυ τη η ε πο ρευ ο
μην ε κρυ ψαν πα γι δα μοι
Κα τε νο ουν εις τα δε ξι α και
ε πε βλε πον και ουκ η ην ο ε πι γι
νω σκων με
Α πω λε το φυ γη η απ ε μου και ουκ
ε στι ν ο εκ ζη των ων την ψυ χην μου

Ε κε κρα ξα προς σε Κυ ρι ε ει πα
συ ει η ελ πις μου με ρις μου ει εν γη ζων
των

Προ σχες προς την δε η σιν μου
ο ο τι ε τα πει νω θην σφο δρα

Ρυ σαι με εκ των κα τα δι ω κον των με
ο ο τι ε κρα ται ω θη σαν υ περ ε
με

Ε ξα γα γε εκ φυ λα κης την ψυ χην
μου του ε ξο μο λο γη σα σθαι τω ο
νο μα τι σου

Ε με υ πο με νου σι δι και οι ε
ως ου αν τα πο δως μοι

Εκ βα θε ων ε κε κρα ξα σοι Κυ ρι
ε Κυ ρι ε ει σα κου σον της φω νης μου

Γε νη θη τω τα ω τα σου προ σε χον
τα εις την φω νην της δε η σε ως μου

Στιχηρὰ Σταυρώσιμα.

Ἦχος πλ. δ΄. Ὁ Ἀγγελός σου Κύριε.

Στίχος Ε αν α νο μι ας πα ρα
τη ρη σης Κυ ρι ε Κυ ρι ε τις υ
πο στη σε ται ο τι πα ρα σοι ο ι λα σμος ε
ε στιν

Λαὸς ὁ ἀνομώτατος, μέσον κατέκρινεν ἀνόμων, Ἰησοῦ μου σταυρωθῆναί σε, τὸν Κύριον καὶ κτίστην τοῦ παντὸς κόσμου, καὶ ὁρῶσα τὸ τόλμημα, ἡ γῆ ἐσείετο ἅπασα, πάντων ποιητήν σε, δεικνύουσα Δέσποτα.

Ἦχος πλ. δ΄ Νη

Λα ος ο α νο μω τα τος με σον
κα τε κρι νεν α νο μων Ι η σου μου
σταυ ρω θη ναι σε τον Κυ ρι ον και κτι




Νόμου κατάρας ἅπαντες, λυτρούμεθα καὶ ἐγκλημάτων· ὁ γὰρ νόμου πέλων Κύριος, ἀνυψώθη ἐν τῷ Σταυρῷ τῷ τιμίῳ, εὐλογίαν πηγάζων ἀνελλιπῆ, καὶ χάριν καὶ ἔλεος, ἡμῖν τοῖς ὑμνοῦσιν αὐτοῦ, τὰ θεῖα παθήματα.

Νο μου κα τα ρας α παν τες λυ τρου με
θα και ε γκλη μα των ο γαρ νο μου πε λων
Κυ ρι ος α νυ ψω θη εν τω Σταυ ρω ω
τω τι μι ω ευ λο γι αν πη γα ζων α νελ
λι πη και χα ριν και ε λε ος η μιν τοις υ
μνου σιν αυ του τα θει ει α πα θη η μα α τα

*Στιχηρὸν τῆς Θεοτόκου, Ἦχος πλ. δ΄.*
*Ὢ τοῦ παραδόξου θαύματος.*

*Στίχ.:* Α πο φυ λα κης πρω ι ας με
χρι νυ κτος α πο φυ λα κης πρω ι ας
ελ πι σα τω Ισ ρα ηλ ε πι τον Κυ ρι
ον

Χαῖρε Θεοτόκε Δέσποινα, χαῖρε τὸ σκῆπτρον Δαυῒδ· χαῖρε πύλη οὐράνιε· χαῖρε βάτε ἄφλεκτε· χαῖρε ὄρος κατάσκιον· χαῖρε λυχνία· χαῖρε Πανάχραντε· χαῖρε ἡ στάμνος· χαῖρε παλάτιον· χαῖρε πανάμωμε, Μήτηρ τοῦ Θεοῦ ἡμῶν· χαῖρε λαβίς· χαῖρε θεία τράπεζα· χαῖρε τοῦ κόσμου ἐλπίς.

Στιχηρὰ Προσόμοια τοῦ μηναίου.
Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι

Στίχ. δ΄.
Ο τι πα ρα τω Κυ ρι ω
το ε λε ος και πολ λη παρ αυ τω λυ
τρω σις και αυ τος λυ τρω σε ται τον Ισ ρα
ηλ εκ πα σων των α νο μι ων αυ
του

Ἱερέων ἐν χρίσματι, καὶ Μαρτύρων ἐν αἵματι τῷ Θεῷ προσήγγισας, τελεώτατα, Κυπριανὲ παναοίδιμε, τὸ ἄνθος τῆς φύσεως, ἡ τῶν λόγων καλλονή· τῆς σοφίας ἀκρόπολις, τῆς ὀρθότητος, τῶν δογμάτων ἡ στάθμη, τῶν κανόνων, παναρμόνιος εὐθύτης· Ἐκκλησιῶν ἡ εὐπρέπεια.

Στίχ. ε΄.
Αι νει τε τον Κυ ρι ον παν
τα τα ε θνη ε παι νε σα τε αυ τον παν

τες οι λα οι

Τῶν ἀθλούντων τὴν εὔκλειαν, τῶν Μαρτύρων τὸν στέφανον, ὑπογράφων ἔπεισας τοὺς θεόφρονας, κατατολμᾶν γενναιότατα, ποικίλων κολάσεων, καὶ δεσμῶν καὶ φυλακῆς, καὶ σωμάτων γυμνώσεως, καὶ στρεβλώσεων, καὶ κρυμοῦ δριμυτάτου καὶ μαστίγων, καὶ θανάτου τελευταῖον, Κυπριανὲ πανσεβάσμιε.

Στίχ. ς'. Ο τι ε κρα ται ω θη το ε λε ος αυ του εφ η μας και η α λη θει α του Κυ ρι ου με νει εις τον αι ω να

Ἐπῳδαῖς ταῖς τοῦ δαίμονος, τὰς ᾠδὰς τὰς τοῦ Πνεύματος, καὶ Σταυροῦ τὸ τρόπαιον ἀντιτάξασα, τὴν παρθενίαν ἐτήρησας· καὶ Μάρτυς ἀήττητος, προσηνέχθης τῷ Χριστῷ, ἱερώτατον σφάγιον· ὅθεν ἔτυχες, τῶν στεφάνων τῆς νίκης, Ἰουστῖνα, τῶν Παρθένων καὶ Μαρτύρων, κεκοσμημένη φαιδρότησι.

Δόξα Πατρὶ... Ἦχος β΄

Διδασκαλίαν τῆς πλάνης, καὶ γνῶσιν τῶν εἰδώλων, ἀπεδύσω ἀληθῶς, καὶ Σταυρὸν ἠμφιάσω, ὅπλον εἰς σωτηρίαν, Κυπριανὲ παμμακάριστε. Ἔρριψας τὰς βίβλους τάς μαγικάς, τὸν ἄνθρωπον ἀπέθου τὸν παλαιόν, καὶ ᾤκησεν ἐν σοὶ θεογνωσίᾳ, ἡ Τριὰς ἡ ὁμοούσιος· Αὐτὴν ἱκέτευε Ἱεράρχα, σὺν Ἀγγέλοις τοῦ σωθῆναι ἡμᾶς.

Ἦχος Δι




Σταυ ρον ημ φι ι α α α σω ο ο πλον εις
σω ω ω τη ρι ι αν Κυ πρι α νε ε ε ε
παμ μα κα α α ρι ι ι ι στε ερ ρι ψας
τας βι ι ι βλους τα ας μα α γι ι κας τον
αν θρω πον α πε ε ε θου το ον πα λαι αι ον
και ω κη η σεν εν σοι οι θε ε ο ο ο γνω
σι ι α η Τρι α ας η η ο μο ου ου
ου σι ι ι ι ος Αυ την ι κε ε ε ε
τε ε ε ευ ε Ι ε ρα αρ χα α συ υ υν
Αγ γε ε λοις του ου σω ω θη η η ναι
αι η η η μας

Καὶ νῦν... *Σταυροθεοτοκίον*

*Ἦχος β΄*

*Ὅτε, ἐκ τοῦ ξύλου σε*

Πάντων, θλιβομένων ἡ χαρά, καὶ ἀδικουμένων προστάτις, καὶ πενομένων τροφή, ξένων τε παράκλησις, χειμαζομένων λιμήν, ἀσθενούντων ἐπίσκεψις, καταπονουμένων, σκέπη καὶ ἀντίληψις, καὶ βακτηρία τυφλῶν, Μήτηρ τοῦ Θεοῦ τοῦ ὑψίστου, σὺ ὑπάρχεις. Ἄχραντε σπεῦσον, δυσωποῦμεν ῥύσασθαι τοὺς δούλους σου.

Φῶς ἱλαρὸν ἁγίας δόξης, ἀθανάτου Πατρός, οὐρανίου, ἁγίου, μάκαρος, Ἰησοῦ Χριστέ, ἐλθόντες ἐπὶ τὴν ἡλίου δύσιν, ἰδόντες φῶς ἑσπερινόν, ὑμνοῦμεν Πατέρα, Υἱόν, καὶ ἅγιον Πνεῦμα Θεόν. Ἄξιόν σε ἐν πᾶσι καιροῖς, ὑμνεῖσθαι φωναῖς αἰσίαις, Υἱὲ Θεοῦ, ζωὴν ὁ διδούς, Διὸ ὁ κόσμος σὲ δοξάζει.

Ἑσπέρας προκείμενον.

## Τῇ Πέμπτῃ ἑσπέρας.

## Προκείμενον

Ἦχος πλ. δ΄ Βου

Η βο η θει α α μου πα ρα Κυ ρι ου του ποι η σαν τος τον ου ρα νο ον και την γην (Δίς)

**Στίχ.** Ἦρα τούς ὀφθαλμούς μου εἰς τά ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου.

Τὸ τρίτον. Η βο η θει α α μου πα ρα Κυ ρι ου του ποι η σαν τος τον ου ρα νο ον και την γη η ην

Ὁ Ἀναγνώστης: Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν. Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ΄ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. Εὐλογητὸς εἶ, Κύριε. δίδαξόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου. Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος:

Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Κύριε ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Κύριε ἐλέησον.

Τὴν ἑσπέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρά τοῦ Κυρίου, αἰτησώμεθα.

Παράσχου Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα των ψυχῶν καί τῶν σωμάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καί τῶν πλημμελημάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Χριστιανὰ τὰ τέλη της ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Παράσχου Κύριε.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ

ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Σοὶ Κύριε.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας των αἰώνων.

Ὁ Χορός: Ἀμήν.

Εἰρήνη πᾶσι.

Καὶ τῷ πνεύματί σου.

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Σοί, Κύριε.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανοὺς καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ἔπιδε ἐπί τοὺς δούλους σου καὶ ἐπὶ τὴν κληρονομίαν σου. Σοὶ γὰρ τῷ φοβερῷ καὶ φιλανθρώπῳ κριτῇ, οἱ σοὶ δοῦλοι ὑπέκλιναν τὰς κεφαλάς, τοὺς δὲ αὐτῶν ὑπέταξαν αὐχένας; οὐ τὴν ἐξ ἀνθρώπων ἀναμένοντες βοήθειαν, ἀλλὰ τὸ σὸν περιμένοντες ἔλεος, καὶ τὴν σὴν ἀπεκδεχόμενοι σωτηρίαν, οὓς διαφύλαξον ἐν παντὶ καιρῷ, καὶ κατὰ τὴν παροῦσαν ἑσπέραν καὶ τὴν προσιοῦσαν νύκτα, ἀπὸ παντὸς ἐχθροῦ,

ἀπὸ πάσης ἀντικειμένης ἐνεργίας διαβολικῆς, καὶ διαλογισμῶν ματαίων καὶ ἐνθυμήσεων πονηρῶν.

Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον, τοῦ Πατρὸς καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός: Ἀμήν.

## Ἀπόστιχα Σταυρώσιμα.
## Ἦχος πλ. δ΄.

Ὑψώθης ἐν Σταυρῷ Χριστὲ ὁ Θεός, καὶ ἔσωσας τῶν ἀνθρώπων τὸ γένος, δοξάζομέν σου τὰ παθήματα.




Στίχ. α΄. Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου, τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ. Ἰδού, ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν, ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς, οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν, ἕως οὗ οἰκτειρῆσαι ἡμᾶς.

Ἐπάγης ἐν Σταυρῷ Χριστὲ ὁ Θεός, καὶ ἤνοιξας Παραδείσου τὰς πύλας, δοξάζομέν σε Λυτρωτὰ ἡμῶν.



δο ξα ζο μεν σε Λυ τρω τα α η η μων

Στίχ. β΄. Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, ὅτι ἐπὶ πολὺ ἐπλήσθημεν ἐξουδενώσεως, ἐπὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν, τὸ ὄνειδος τοῖς εὐθηνοῦσι, καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις.

Μαρτυρικὸν. Ἦχος πλ. δ΄.

Μάρτυρες Κυρίου, πάντα τόπον ἁγιάζετε, καὶ πᾶσαν νόσον θεραπεύετε, καὶ νῦν πρεσβεύσατε, ῥυσθῆναι τῶν παγίδων τοῦ ἐχθροῦ, τὰς ψυχὰς ἡμῶν δεόμεθα.

Μαρ τυ ρες Κυ ρι ου παν τα το πον α γι α

ζε τε και πα α σαν νο σον θε ε ρα πευ ε τε

και νυν πρε σβευ σα τε ρυ σθη η ναι των πα

γι δων του ε χθρου τας ψυ χας η μων δε ο ο

με ε θα

Ἀπόστιχα. Δοξαστικὸν. Ἦχος β΄

Δόξα Πατρὶ...

Τὸν φωστῆρα τὸν θεολαμπῆ, τὸν τοῦ Παύλου συνόμιλον, καὶ ἔργοις συμμέτοχον, Κυπριανὸν εὐφημήσωμεν· μέτ᾽ Ἀγγέλων γὰρ ἀγάλλεται, λαβὼν τὸ στέφος τῆς ἀφθαρσίας, παρὰ τοῦ μόνου Θεοῦ, καὶ πρεσβεύει, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος Δι



μετ Αγ γε λω ων γαρ α γα αλ λε ε ε ε

ται λα βων το στε ε φο ος τη ης α α α φθαρ

σι ι ας πα ρα του μο ο ο ο νου

ου Θε ε ου ου και πρε σβε ε ευ ει σω

θη η η ναι τα ας ψυ υ χα α ας η η η η

μων

Σταυροθεοτοκίον.

Ἦχος β΄

Ὅτε, ἐκ ξύλου σε

**Καὶ νῦν...**

Ὅτε, ἡ ἀμίαντος ἀμνάς, ἔβλεψε τὸν ἴδιον ἄρνα, ἐπὶ σφαγὴν ὡς βροτόν, θέλοντα ἑλκόμενον, θρηνοῦσα ἔλεγεν· Ἀτεκνῶσαι νῦν σπεύδεις με, Χριστὲ τὴν τεκοῦσαν, τὶ τοῦτο πεποίηκας, ὁ λυτρωτὴς τοῦ παντός; ὅμως, ἀνυμνῶ καὶ δοξάζω, σοῦ τὴν ὑπὲρ νοῦν τε καὶ λόγον, ἄκραν ἀγαθότητα Φιλάνθρωπε.

ΙΕΡΕΥΣ: Νῦν ἀπολύεις τον δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Ὁ Ἀναγνώστης: Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (ἐκ γ΄).

Δόξα Πατρὶ... Καὶ νῦν...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς.

Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν,

Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.

Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.

Δόξα Πατρὶ... Καὶ νῦν...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τόν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

ὁ ἱερεύς:

Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ: Ἀμήν.

Ἀπολυτίκιον.

Καὶ τρόπων μέτοχος

Ἦχος πλ. δ΄ Δι



## Δόξα Πατρὶ... Καὶ νῦν...

### Τῇ Πέμπτῃ ἑσπέρας, Ἦχος δ΄.

Παρθένε πανάμωμε, Μήτηρ Χριστοῦ Θεοῦ, ῥομφαία διῆλθέ σου, τὴν παναγίαν ψυχήν, ἡνίκα σταυρούμενον, ἔβλεψας ἑκουσίως, τὸν Υἱὸν καὶ Θεόν σου, ὅν περ εὐλογημένη, δυσωποῦσα μὴ παύσῃ, συγχώρησιν πταισμάτων, ἡμῖν δωρήσασθαι.

Ἦχος Δι



ΙΕΡΕΥΣ: Σοφία!

ΧΟΡΟΣ: Εὐλόγησον.

ΙΕΡΕΥΣ: Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν , πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τους αἰῶνας τῶν αἰώνων.

Ὁ Ἀναγνώστης: Ἀμήν. Στερεῶσαι, Κύριος ὁ Θεός, τὴν ἁγίαν καὶ ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν, σὺν τῇ ἁγίᾳ αὐτοῦ Ἐκκλησίᾳ καὶ τῇ πόλει (ἢ τῇ μονῇ, ἢ χώρᾳ, ἢ τῇ νήσῳ) ταύτῃ εἰς αἰῶνας αἰώνων. Ἀμήν.

ΙΕΡΕΥΣ: Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ὁ Ἀναγνώστης: Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, Πάτερ.

ΙΕΡΕΥΣ: Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ Ἀναγνώστης: Δόξα... Καὶ νῦν... , Κύριε ἐλέησον (γ΄), Πάτερ ἅγιε, εὐλόγησον.

ΙΕΡΕΥΣ: Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας Αὐτοῦ μητρός, δυνάμει τοῦ

τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων τὸν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

ΙΕΡΕΥΣ: Δι΄ εὐχῶν των ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Ὁ Χορός: Ἀμήν.

Ἡ Μεταφορὰ Κειμένων - Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε μὲ τὸ πρόγραμμα «Μελωδός»
τοῦ κ. Σάββα Παπαδόπουλου
www.melodos.com
ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη στὸν Ι.Ν. Ἁγίου Γεωργίου Κουλούρας Βέροιας.